# Εὐχή εἰς τήν Ὑπεραγίαν Θεοτόκον

Ἐπεί σε προστάτιν καί μεσῖτιν πρός τόν ἐκ σοῦ τεχθέντα Θεόν τό ἀνθρώπινον γένος εὐμοίρησε, καί τῆς σῆς ἀεί προστασίας ἐξήρτηται, καί σέ μόνην ἔχει καταφυγήν καί ἀντίληψιν, ὡς παρρησίαν ἔχουσαν πρός αὐτόν· ἰδού καί ἡμεῖς σοι προσερχόμεθα ψυχαῖς ζεούσαις μή τολμῶντες μετά παρρησίας τῷ σῷ Υἱῷ προσελθεῖν· ἀλλά διά τῆς σῆς πρός αὐτόν μεσιτείας σωτηρίας τυχεῖν ἱκετεύομέν σε. Μή οὖν παρίδῃς ἡμᾶς, Δέσποινα, μηδέ ἀπώσῃ τούς δούλους σου, τάς ἐλπίδας ἡμῶν πάσας μετά Θεόν εἰς σέ ἀναθεμένους· μή βδελύξῃ ἡμᾶς τούς ἀσώτους μηδέ παραβλέψῃ τούς παντελῶς κινδυνεύοντας καί μεγίσταις ὀδύναις ἐξεταζομένους, ἀλλ' ὡς συμπαθής καί τοῦ ἐλεήμονος Θεοῦ Μήτηρ, τούς σούς ἱκέτας ἐλέησον, καί τοῦ κατεγνωσμένου ἡμῶν συνειδότος ἀπάλλαξον, καί τόν κλύδωνα τῶν πονηρῶν λογισμῶν καταπράϋνον, καί τῶν ἡδονῶν τήν κάμινον κατάσβεσον, καί τήν φλόγα τῆς σαρκός κατακοίμισον, καί τόν πρός τόν Υἱόν σου καί Θεόν πόθον ἡμῶν ἄναψον, καί πάσας τάς αἰσθήσεις ἀσφάλισον, μηδεμίαν εἴσοδον ταῖς ἀτόποις ἐπιθυμίαις παρέχουσα. Καιρόν μετανοίας ἡμῖν δοθῆναι ἱκέτευε, μή ἀκάρπους ἡμᾶς ἡ τοῦ θανάτου ἐκκόψῃ δρεπάνη, καί τῷ πυρί ὡς ἄκαρποι ἐκδοθησόμεθα· τῶν ψυχῶν ἡμῶν τάς λαμπάδας ἐσβεσμένας ἐπάναψον, τόν ζόφον τῶν ἀνομιῶν ἡμῶν διασκέδασον, καί τήν τῶν ὀρέξεων ὁμίχλην τῇ σῇ πρεσβείᾳ ἀπέλασον· πολλά γάρ ἰσχύει δέησις μητρική πρός Υἱόν ἐνδιάλλακτον. Δός ἡμῖν φῶς μετανοίας, καί πρός ἡμέραν κατανύξεως χειραγώγησον· ἀξίωσον ἡμᾶς κατά τό εὐάρεστον τοῦ φιλανθρώπου Θεοῦ ἀεί πολιτεύεσθαι πάσας τᾶς ἡμέρας τῆς ζωῆς ἡμῶν· καί ἕως ἐσμέν ἐν τῷ πολυωδύνῳ τούτῳ βίῳ φρούρει, σκέπε, διαφύλαττε· καί τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τούς γρηγοροῦντας τήρησον, τούς καθεύδοντας σκέπασον, καί πάσας τάς ὁδούς ἡμῶν κατεύθυνον. Ἡνίκα δέ μέλλωμεν τοῦ σώματος ἐκδημῆσαι, παράστηθι ἡμῖν, φιλάγαθε Δέσποινα, καί τήν ἀφόρητον ἐκείνην ὀδύνην ἐλάφρυνον· τόν πόνον ἡμῶν κούφισον, τήν στενοχωρίαν ἡμῶν παραμύθησον, καί χειραγώγησον τάς ἡμετέρας ἀθλίας ψυχάς πρός τάς αἰωνίους μονάς· μή ζοφερά δύναμις συναντήσῃ ἡμῖν καί εἰς ᾅδου βυθόν κατασπάσῃ ἡμᾶς· ἵλεων ἴδοιμεν τόν Κριτήν καί εὐμενῶς ἡμῖν προσβλέποντα· ῥυσθεῖμεν τῆς αἰωνίου

φλογός διά σοῦ, Θεονύμφευτε, καί τῆς τρυφῆς τοῦ παραδείσου καταπολαύσαι ἡμᾶς· τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχοιμεν· ἵνα σέ τήν μόνην τοῦ ἀνθρωπίνου γένους γεγονυῖα ἀντίληψιν, καί τό τῆς προμήτορος ἐπανορθώσασαν ἥττημα, τήν τῶν ἀσθενῶν θεραπείαν καί ἴασιν παρέχουσαν, τῶν ἁμαρτωλῶν προστασίαν ὑπάρχουσαν, τῶν ἀθυμούντων παραμυθίαν τυγχάνουσαν, τῶν θλιβομένων ἀναψυχήν χρηματίζουσαν, μεγαλύνομεν καί μακαρίζομεν διά παντός ὑπό σοῦ φυλαττόμενοι καί σκεπόμενοι. Μόνον θέλησον καί ἡμεῖς ἐσώθημεν, οὐδείς ἀντιτάσσεταί σοι. Ὦ Δέσποινα Θεοτόκε, τό ἡμέτερον ἐκ Θεοῦ ψυχαγώγημα, τῶν ξηρανθεισῶν ἡμῶν καρδιῶν ἡ θεόρρυτος ῥανίς, τῶν ζοφερῶν ἡμῶν ψυχῶν ἡ τηλαυγεστάτη λαμπάς, τῶν ἐμῶν ῥαθυμιῶν ἡ ποδηγεσία, τῶν ἀσθενειῶν ἡ δύναμις, τῶν γυμνώσεων ἡ ἀμφίεσις, τῆς πτωχείας ὁ πλοῦτος, τῶν ἀνιάτων τραυμάτων ἡ ἴασις, τῶν δακρύων ἡ ἀναίρεσις, τῶν συμφορῶν ἡ μεταποίησις, τῶν ὀδυνῶν ὁ κουφισμός, τῶν δεσμῶν ἡ λύσις, τῆς σωτηρίας ἡ ἐλπίς, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν, οἰκτείρησον τούς στεναγμούς καί προσδεξαμένη τούς ὀδυρμούς ἐλέησον ἡμᾶς . Μή οὖν ἀποστερηθῶμεν πανάχραντε Δέσποινα τῶν προσδοκιῶν ἡμῶν, ἀλλά τύχοιμεν αὐτῶν, Θεόνυμφε, ἡ τῶν πάντων προσδοκία, ἡ τόν Λόγον τεκοῦσα τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τόν ἀληθινόν Θεόν καί Δεσπότην. Αὐτῷ γάρ ἡ δόξα καί τό κράτος καί ἡ τιμή καί ἡ προσκύνησις ἅμα τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.